τῆς ἡμέρας. εἶτα τῆς ἑορτῆς. Τὸ κατευθυνθήτω. Εὐαγγέλιον τῆς ἡμέρας. Καὶ ἡ θεία λειτουργία τῶν προηγιασμένων. Εἰς τὸν ὄρθρον, τῇ μεγάλῃ πέμπτῃ. Εἰς τὸ θεὸς κύριος, τροπάριον, ἦχος, πλ. δ΄. Ἐν ἡμέρᾳ τοῦ σταθείας ἡμῶν τὸ κεφάλαιον, β΄. Δόξα, ἦχος, πλ. δ΄. Ὅτε οἱ ἔνδοξοι μαθηταί. στιχολογεῖται δὲ καὶ ὁ πολυέλεος. Οἱ ἀναβαθμοί, τὸ, α΄. ἀντίφωνον τοῦ πλ. δ΄, ἤχου. προκείμενον, τῆς ἑορτῆς. τὸ πᾶσα πνοή. Εὐαγγέλιον τῆς ἑορτῆς. Κανόνες, β΄. προηγεῖται δέ, τῆς ἑορτῆς. εἶτα τῆς ἡμέρας, ἀπὸ, γ΄, ᾠδῆς κοντάκιον τῆς ἡμέρας. Ἀφ' ἕκτης κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον τῆς ἡμέρας. εἶτα τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους στιχηρὰ τῆς ἑορτῆς. Εἰς τὸν στίχον, τῆς ἡμέρας, Ἀπολυτίκιον, τῆς ἑορτῆς. Περὶ δέ, ὥραν πέμπτην. ἐξέρχεται ἡ λιτή. Καὶ ἀποστρεφούσης, ψάλλομεν τὰς, γ΄, ὥρας τριψάλμους ἐν τῷ νάρθηκι. Καὶ γίνεται ἡ ἀκολουθία τουτέστι τοῦ λυχνικοῦ. Εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ι΄. Καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας, καὶ τῆς ἑορτῆς. Δόξα, τῆς ἡμέρας καὶ νῦν, τῆς ἑορτῆς. Εἴσοδος μετὰ τοῦ εὐαγγελίου. Τὸ φῶς ἱλαρόν. καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας. Καὶ τῆς ἑορτῆς τὰ, β΄. καὶ ἡ ἐκτενὴς συναπτή. Τὸ τρισάγιον. Προκείμενον τῆς ἡμέρας. Καὶ τῆς ἑορτῆς. ὡσαύτως καὶ τὰ εὐαγγέλια, ἀκολουθία τῆς ἡμέρας. καὶ καθεξῆς ἡ θεία λειτουργία, τοῦ μεγάλου Βασιλείου. Ἀντὶ δὲ τοῦ χερουβικοῦ, λέγε τροπάριον, ἦχος, πλ. β΄. Τοῦ δείπνου σου τοῦ μυστικοῦ. ἐκ τρίτου. Τὸ αὐτὸ λέγομεν καὶ κοινωνικόν. Καὶ μετὰ τὴν μετάληψιν τῶν θείων μυστηρίων, τὸν αὐτὸν ὕμνον λέγομεν. Καὶ τοῦ ἱερέως ποιήσαντος τὴν ὀπισθάμβωνον εὐχήν, γίνεται ὁ νιπτὴρ κατὰ τὴν τάξιν αὐτοῦ. Καὶ δίδοται ἡ εὐλογία τοῖς ἀδελφοῖς. Καὶ γίνεται τελεία ἀπόλυσις. Καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν.

Ἐὰν δὲ γένηται ὁ εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ. Εἰς τὴν παραμονήν, ἤγουν τῇ μεγάλῃ, ε΄, ἑσπέρας, Προηγιασμένη ὁμοίως τὰ στιχηρά, Καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς ἑορτῆς, τὰ, β΄. Τῇ δὲ ἐπαύριον, ἤγουν τῇ παρασκευῇ. Εἰς τὸν ὄρθρον. Εἰς τὸ θεὸς κύριος, τροπάριον τῆς ἑορτῆς. Σήμερον τῆς σωτηρίας, καί, β΄. Δόξα, καὶ νῦν, Ὅτε οἱ ἔνδοξοι μαθηταί. Καὶ ἡ ἀκολουθία τῶν ἁγίων παθῶν, κατὰ τὴν τάξιν αὐτῶν. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἀντιφώνων. εὐθὺς τὸ κοντάκιον, τῶν ἁγίων παθῶν. Τὸν δι' ἡμᾶς σταυρωθέντα, εἶτα εὐαγγέλιον. Καὶ οἱ μακαρισμοὶ τῶν ἁγίων παθῶν. προκείμενον. Διεμερίσαντο τὰ ἱμάτιά μου. στίχος, Μακάριος ὁ συνιῶν, ἐπὶ πτωχόν, καί. Εὐαγγέλιον. Καὶ εὐθύς, οἱ ἀναβαθμοί. τὸ, α΄, ἀντίφωνον τοῦ πλ. δ΄, ἤχου. Προκείμενον τῆς ἑορτῆς. πᾶσα πνοή, Εὐαγγέλιον, τῆς ἑορτῆς, Ἀναστᾶσα Μαριάμ. καὶ εὐθύς, ὁ, ν΄. καὶ τὸ ἐν ὀρδίνῳ εὐαγγέλιον τῶν ἁγίων παθῶν. εἶτα ὁ κανὼν τῆς ἑορτῆς. Καὶ τὸ τριῴδιον τῆς ἡμέρας. Τὰ δὲ λοιπὰ εὐαγγέλια τῶν ἁγίων παθῶν, ἀναγινώσκονται κατὰ τὴν τάξιν αὐτῶν. Εἰς τοὺς αἴνους, στιχηρὰ τῆς ἡμέρας, ἦχος, α΄. Πᾶσα ἡ κτίσις. Καὶ τοὺς, γ΄. ἤχου τοῦ β΄.

δόξα,

δόξα, ἦχος πλ. δ'. Ἡ δὴ βάπτεται κάλαμος. Καὶ νῦν τῆς ἑορτῆς, ἦχος πλ. δ'. Εὐφραινέσθωσαν οἱ οὐρανοί. εἰς τὸν στίχον τὰ προσόμοια τῆς ἑορτῆς. Δόξα, ἦχος πλ. β'. Ἐξέδυσάν με τὰ ἱμάτιά μου. καὶ νῦν, ἦχος, δ'. Γλῶσσαν ἣν οὐκ ἔγνω. Ἡ δὲ πρώτη ὥρα γίνεται καθὰ διατέτακται ἐν τῇ μεγάλῃ παρασκευῇ.

Περὶ δὲ ὥραν, ε'. κρούει τὸ σιδηροῦν, καὶ ποιοῦμεν λιτήν. Καὶ ὑποστρέψαντες, ψάλλομεν τὰς, γ', ὥρας, μετὰ τῶν τροπαρίων, καὶ τῶν ἀκολουθιῶν αὐτῶν. Καὶ περὶ ὥραν, η'. σημαίνει. Καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ. Καὶ ἀπαρχόμεθα τοῦ λυχνικοῦ. Προηγοῦνται δὲ τὰ ἀναγνώσματα τὰ, ιε'. καὶ τὰ στιχηρὰ τῆς ἡμέρας. Εἶθ' οὕτως τῆς ἑορτῆς. Καὶ γίνεται λειτουργία τελεία τοῦ Χρυσοστόμου.

Ἐὰν δὲ φθάσῃ γενέσθαι ὁ εὐαγγελισμός, τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Τελεῖται πᾶσα ἡ ἀκολουθία κατὰ τὸν προγεγραμμένον τύπον, ἐν τῇ μεγάλῃ πέμπτῃ. Ἀμὴν τὸ μιπλῆρος. Ἀντὶ δὲ τοῦ τρισαγίου, λέγομεν. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Προκείμενον τῆς ἡμέρας. Ἀπόστολος, β'. Ἀντὶ δὲ τοῦ ἀλληλουϊαρίου. Ἀνάστα ὁ θεὸς κρῖνον τὴν γῆν, ἦχος πλ. β'. Μετὰ τῶν στίχων αὐτῶν. Εὐαγγέλιον τῆς ἡμέρας, καὶ τῆς ἑορτῆς.

Ἰστέον, ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ τῆς ἑβδομάδος γένηται ὁ εὐαγγελισμός, ἐπιτελεῖται ἀγρυπνία, μετὰ τὸ ἀπόδειπνον, καὶ ἐν τῇ τραπέζῃ, ἐσθίομεν ἔλαιον. καὶ πίνομεν, οἶνον, διὰ τὴν ἀντίληψιν τῆς ὑπεραγίας θεοτόκου.

Ἐὰν δὲ τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα, τύχῃ γενέσθαι ἡ ἑορτὴ τοῦ εὐαγγελισμοῦ. Προηγοῦνται τὰ στιχηρὰ τῆς ἡμέρας. εἶτα τοῦ εὐαγγελισμοῦ. Μετὰ δὲ τὴν εἴσοδον, καὶ τὸ φῶς ἱλαρόν, σοφία. καὶ ἀνάγνωσις. Καὶ ἀναγινώσκεται, τὸ ἀνάγνωσμα τῆς ἡμέρας. Τὸ ἐν ἀρχῇ ἐποίησεν ὁ θεός. Εἶτα τὰ, ε'. ἀναγνώσματα τοῦ εὐαγγελισμοῦ. Καὶ τὰ ἐπίλοιπα ἀναγνώσματα τοῦ πάσχα, κατὰ τὴν τάξιν αὐτῶν. Καὶ ἡ λοιπὴ ἀκολουθία. Καὶ ἡ λειτουργία τοῦ μεγάλου Βασιλείου. Εἶθ' οὕτως ποιοῦμεν, καθὼς καὶ ἐν τῇ συνάξει τοῦ μεγάλου σαββάτου διήλειπται. Προτεθέντος εἰς τὴν παννυχίδα τὸν κανόνα τοῦ εὐαγγελισμοῦ, εἰς, δ'. εἰς δὲ τὸν ὄρθρον τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ.

Περὶ ὥραν, η', τῆς νυκτός. Ἐξερχόμεθα ἐν τῷ νάρθηκι. Καὶ κλεισθησῶν τῶν πυλῶν. Ἀνάπτει ὁ ἱερεὺς ἅπασαν τὴν [illegible]. Καὶ θυμιᾷ ἅπαντας, ὡς ἔθος ἐστίν. Ὁ δὲ ἐκκλησιάρχης, ἢ ὁ [illegible], διανέμει τὰ κηρία. Καὶ ἅπτομεν αὐτά. Μετὰ δὲ τὸ θυμιᾶσαι πάντας τὸν ἱερέα. ἵσταται ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, καὶ ποιεῖ σταυροειδῶς, λέγων. Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ, τριάδι, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ἡμῶν ἀποκρινομένων, τὸ ἀμήν. Ἄρχεται ὁ ἱερεὺς τροπάριον, ἦχος πλ. α'. Χριστὸς ἀνέστη ἐκ νεκρῶν. θανάτῳ, θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. Ὁμοίως καὶ οἱ ἀδελφοί. Καὶ λέγεται, γ', παρὰ τοῦ ἱερέως καὶ τρεῖς παρὰ τῶν ἀδελφῶν. τὸ δὲ

ἱερεύς. στίχ. α΄. Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός. στίχ. β΄. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος. στίχ. γ΄. Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν. Καὶ εἰς τὸ καθ᾽ ἓν, στίχ. λέγει ὁ λαός, τό, Χριστὸς ἀνέστη. Καὶ ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν λαμπάδων. Καὶ συνεπομένου τοῦ προεστῶτος, καὶ τῶν ἀδελφῶν ψαλλόντων. Καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. Μετὰ δὲ τὸ εἰσελθεῖν εἰς τὸ ἱερατεῖον, δοξάζει ὁ ἱερεύς, ἦχος πλ. δ΄. καὶ λέγομεν. Σήμερον τῆς σωτηρίας ἡμῶν. καὶ νῦν τὸ αὐτό. Εἶθ᾽ οὕτως συναπτή.

Μετὰ τὴν ἐκφώνησιν, ἄρχεται ὁ προεστώς. εἰς ἦχον, α΄. Ἀναστάσεως ἡμέρα. Καὶ ψάλλομεν τὸν κανόνα τοῦ πάσχα, κατὰ τὴν τάξιν αὐτοῦ.

Εἶτα τὸν κανόνα τῆς θεοτόκου. Ἀπὸ γ΄, ᾠδῆς, κοντάκιον, τοῦ πάσχα. Καὶ ἀνάγνωσις εἰς τὸν θεολόγον. Τὸ, ὁ [illegible] τῆς φυλακῆς μου ἐπιστήσομαι. Ἀπὸ δὲ ἕκτης ᾠδῆς, τὸ κοντάκιον τοῦ εὐαγγελισμοῦ. Καὶ ἀνάγνωσις. Ἀναστάσεως ἡμέρα. προκείμενον, ἦχος, δ΄. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας. στίχ. Ἀναστάντος τοῦ [illegible] καιρόν. πᾶσα πνοή. [illegible] τῆς θεοῦ. Ἀναστάσεως [illegible] ἀνάστασιν Χριστοῦ θεασάμενοι. [illegible] ἀπὸ τοῦ περι[illegible] σπήλαιον. Σήμερον κύριος [illegible] θνητός. ᾠδὴ γ΄. Καὶ τῆς θεοτόκου, β΄. Εἰς τοὺς αἴνους, πᾶσα πνοή, ἦχος, α΄. στιχηρὰ ἀναστάσιμα.

Καὶ τοῦ εὐαγγελισμοῦ, εἰς τὸν αὐτὸν ἦχον προσόμοια. Καὶ δευτεροῦμεν [illegible], καὶ τοῦ πάσχα, ἦχος πλ. α΄. Ὁ ἀσπασμός. καὶ ἡ κατήχησις τοῦ Χρυσοστόμου. καὶ ἀπόλυσις. Αἴτη

δέ, οὐ γίνεται.

Δεῖ γινώσκειν, ὅτι εἰς τὴν λειτουργίαν τῆς μεγάλης κυριακῆς. Εἰ μέν ἐστιν εὐκτήριος οἶκος τῆς ὑπεραγίας θεοτόκου, ἐν αὐτῷ τελεῖται ἡ θεία λειτουργία. Εἰ δὲ οὐκ ἔστιν, ὅπερ ἀδύνατον, γίνεται ἡ ἀκολουθία ἡνωμένη μετὰ τῆς μεγάλης κυριακῆς, ὡς ὑποτέτακται. Εἰς τὴν λειτουργίαν, ἀντίφωνα. τοῦ δὲ πάσχα. Μετὰ δὲ τὴν εἴσοδον. δόξα. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. καὶ νῦν. Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε. Ἀντὶ δὲ τοῦ τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. προκείμενον, καὶ ὁ ἀπόστολος, τοῦ πάσχα. Εἶτα τῆς θεοτόκου. Καὶ τὰ εὐαγγέλια ὁμοίως. Καὶ καθεξῆς ἡ θεία λειτουργία, τοῦ Χρυσοστόμου.

Ἐὰν δὲ φθάσῃ ὁ εὐαγγελισμός, τῇ δευτέρᾳ τῆς διακαινησίμου. Ἑσπέρας τῇ μεγάλῃ κυριακῇ. στιχηρὰ πρῶτον τὰ ἀναστάσιμα. Εἶτα τῆς θεοτόκου. Εἴσοδος, τό, Φῶς ἱλαρόν. προκείμενον. Τίς θεὸς μέγας. Εἶτα τὰ ε΄, ἀναγνώσματα τῆς θεοτόκου. Τὸ εὐαγγέλιον τῆς ἡμέρας. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ. Ἐκτενή, τὸ καταξίωσον κύριε. Καὶ τὰς αἰτήσεις. στιχηρὰ τοῦ πάσχα. Καὶ εἰ μὲν ποιεῖς ἀγρυπνίαν, ἡ ἀκολουθία αὐτῆς. Εἰ δὲ μή γε, Χριστὸς ἀνέστη, καὶ ἀπόλυσις.

Εἰς δὲ τὸν ὄρθρον τῆς δευτέρας. Μετὰ τὸ Χριστὸς ἀνέστη. Δόξα, [illegible], τῆς θεοτόκου. καὶ νῦν τὸ αὐτό. Ἡ δὲ λοιπὴ ἀκολουθία, ὡς ἐν τῇ μεγάλῃ κυριακῇ, χωρὶς τοῦ ἀσπασμοῦ, γίνεται δὲ καὶ λιτή.

Ἰστέον δέ, ὅτι οὐκ ἀπὸ ἰδίου σκοποῦ, τὸ πῶς δεῖ ψάλλεσθαι τὴν τοῦ εὐαγγελισμοῦ

γελισμοῦ ἀκολουθίαν, ἐν τῇ τῆς τεσσαρακοστῆς ἡμέραις, καὶ τῆς μεγάλης ἑβδομάδος τοῦ πάσχα, ἣν ὧν πεποίηνται. Καὶ γὰρ τῷ τυπικῷ τῆς μεγάλης ἐκκλησίας ἀκολουθοῦντες, καὶ ἀκριβεστέροις συναξαρίοις ἐντυχόντες, τῆς τε ἀοιδίμου μονῆς τῶν στουδίων, καὶ λοιπῶν. Οὐ μὴν δέ, ἀλλὰ καὶ τῶν ἱεροσολύμων, ταῦτα ἐντετάχαμεν. Μηδεὶς οὖν ἐπαπορείτω τῇ ἐναλλαγῇ, ἐντυγχάνων τῶν τε στιχηρῶν καὶ τῶν κανόνων, καὶ τῶν ἀναγνωσμάτων, ὅπως διώρισται. Ἀλλὰ τὴν ἡμέραν σκοπείτω, ὅτε ἡ παραμονὴ τοῦ εὐαγγελισμοῦ γίνεται. Εἶτα αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς ὁποία ἐστίν. καὶ εὑρήσεις ὅτι, ὅτε ἐν νηστείᾳ τύχῃ ἡ παραμονή, διὰ τὸ σεβάσμιον τῆς τεσσαρακοστῆς, ψάλλομεν πρῶτον τὰ τῆς ἡμέρας. καὶ οἱονεὶ πέρας δίδαμεν τῇ νηστείᾳ. Εἶτα τὰ τοῦ εὐαγγελισμοῦ, καὶ τὴν τῶν προηγιασμένων λειτουργίαν. ἐξ ἐκείνης δέ, ἅτε ἀρχὴν λαβούσης, πάντα τοῦ εὐαγγελισμοῦ προηγοῦνται.

Τοῦ δὲ σαββάτου τοῦ ἁγίου καὶ δικαίου λαζάρου. καὶ τῆς κυριακῆς τῶν βαΐων, προεορτάζομεν τὴν τοῦ εὐαγγελισμοῦ ἀκολουθίαν. διὰ τὸ πρὸ τοῦ πάθους τοῦ χριστοῦ γενέσθαι ταύτας τὰς ἑορτάς. καὶ διὰ τὸ μὴ εἶναι νηστείαν ἐν αὐταῖς.

Πάλιν δὲ ἐν ταῖς τῆς μεγάλης ἑβδομάδος ἡμέραις, προεκρίναμεν, εἰ τύχῃ ἐν αὐταῖς ἡ παραμονὴ τοῦ εὐαγγελισμοῦ, προηγεῖσθαι τὰ τῆς ἡμέρας εἰς τὸ λυχνικόν. εἶτα τοῦ εὐαγγελισμοῦ, διὰ τὴν νηστείαν, ὡς ἤδη φθάσαντες εἴπομεν, καὶ διὰ τὸ τῶν ἡμερῶν παράδοξον.

Γίνεσθαι δὲ τῇ μεγάλῃ παρασκευῇ ἢ προσκομιδή, εἰ τύχῃ ἐν ταύτῃ ὁ εὐαγγελισμός, κἂν γὰρ οἱ κανόνες, ἄλλως διαγορεύωσιν. Ἀλλ' οὖν εὕρομεν ἐν τῷ συναξαρίῳ τῆς μεγάλης ἐκκλησίας, εἰς τοὺς εὐκτηρίους οἴκους τῆς θεοτόκου γίνεσθαι προσκομιδήν, καὶ τελείαν λειτουργίαν.

Εἰς τάς, κϛ΄. Ἡ σύναξις, τοῦ ἀρχιστρατήγου γαβριήλ. Εἰ δὲ ἐστι τεσσαρακοστή. Ἀλληλούϊα. Εἰ δ' οὖν τροπάριον, ἦχος, δ΄. Τῶν οὐρανίων στρατιῶν.

Εἰς τάς, κζ΄. Τῆς ἁγίας μητρὸς ἡμῶν, ματρώνης, τῆς ἐν θεσσαλονίκῃ. Ἀλληλούϊα.

Εἰς τάς, κη΄. Τοῦ ὁσίου στεφάνου τοῦ θαυματουργοῦ. Καὶ τοῦ ὁσίου ἱλαρίωνος τοῦ νέου. Ἀλληλούϊα.

Εἰς τάς, κθ΄. Τοῦ ὁσίου μάρκου, ἐπισκόπου ἀρεθουσίων. καὶ κυρίλλου διακόνου. καὶ ἑτέρων, τῶν ἐπὶ ἰουλιανοῦ τοῦ τυράννου ἀθλησάντων. Ἀλληλούϊα.

Εἰς τάς, λ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν, ἰωάννου τοῦ συγγραφέως τῆς κλίμακος. τροπάριον. Ταῖς τῶν δακρύων σου ῥοαῖς. κοντάκιον, ἦχος, α΄. πρὸς τό, Χορὸς ἀγγελικός. Καρποὺς ἀειθαλεῖς.

Εἰς τάς, λα΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ, ὑπατίου. ἐπισκόπου, ἀγγύρας. Ἀλληλούϊα, ἦχ. Κανόνα πίστεως.

Εἴδησις τοῦ τύπου τοῦ ἀπριλλίου μη-
νός. Κεφάλαιον, κϛ΄.

Μὴν ἀπρίλλιος ἔχων ἡμέρας, λ΄. ἡ ἡμέρα ἔχει ὥρας, ιγ΄. καὶ ἡ νὺξ, ὥρας, ια΄.

Εἰς τὴν, α΄. Τῆς ὁσίας μητρὸς ἡμῶν μαρίας τῆς αἰγυπτίας, τροπ. Ἐν σοὶ μῆτερ ἀκριβῶς. κοντάκιον, ἦχος, β΄. πρὸς τοῖς τῶν αἰωνίων σου ῥείθροις. τοῖς τῶν ἀγώνων σου πόνοις :~

Εἰς τὰς, β΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ, τίτου :~

Εἰς τὰς, γ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν νικήτα, ἡγουμένου μονῆς τῶν μηδικίου.

Εἰς τὰς, δ΄. Τῶν ὁσίων πατέρων ἡμῶν ἰωσὴφ τοῦ ὑμνογράφου, καὶ γεωργίου τοῦ ἐν τῷ μαλαιῷ :~

Εἰς τὰς, ε΄. Τῶν ἁγίων μαρτύρων, θεοδούλου, καὶ ἀγαθόποδος :~

Εἰς τὰς, ϛ΄. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν γεωργίου, ἀρχιεπισκόπου κωνσταντινουπόλεως :~

Εἰς τὰς, ζ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν, γεωργίου, ἐπισκόπου μελιτινῆς :~

Εἰς τὰς, η΄. Τῶν ἁγίων ἀποστόλων, ἡρωδίωνος, ἀγάβου, ῥούφου, ἀσυγκρίτου, ἑρμαίου, καὶ ἐπαφρᾶ :~

Εἰς τὰς, θ΄. Τοῦ ἁγίου μάρτυρος, εὐψυχίου :~

Εἰς τὰς, ι΄. Τῶν ἁγίων μαρτύρων, τερεντίου πομπηίου, καὶ τῶν σὺν αὐτῷ :~

Εἰς τὰς, ια΄. Τοῦ ἁγίου ἱερομάρτυρος, ἀντίπα ἐπισκόπου περγάμου τῆς ἀσίας :~

Εἰς τὰς, ιβ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ βασιλείου ἐπισκόπου παρείου. Ἀλληλούια :~

Εἰς τὰς, ιγ΄. Τοῦ ἁγίου ἱερομάρτυρος ἀρτεμῶνος. Ἀλληλούια :~

Εἰς τὰς, ιδ΄. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ, μαρτίνου, πάπα ῥώμης :~

Εἰς τὰς, ιε΄. Τῶν ἁγίων ἀποστόλων, ἀριστάρχου, πούδη, καὶ τροφίμου :~

Εἰς τὰς, ιϛ΄. Τῶν ἁγίων παρθένων καὶ μαρτύρων. ἀγάπης, εἰρήνης, καὶ χιονίας :~

Εἰς τὰς, ιζ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν συμεὼν τοῦ ἐν περσίδι. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν ἀκακίου ἐπισκόπου μελιτινῆς :~

Εἰς τὰς, ιη΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν, ἰωάννου, μαθητοῦ τοῦ ἁγίου γρηγορίου. τοῦ δεκαπολίτου :~

Εἰς τὰς, ιθ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν ἰωάννου τοῦ παλαιολαυρίτου :~

Εἰς τὰς, κ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ τριχινᾶ :~

Εἰς τὰς, κα΄. Τοῦ ἁγίου ἱερομάρτυρος, ἰαννουαρίου. καὶ τῆς συνοδίας αὐτοῦ. Καὶ τοῦ ἁγίου ἱερομάρτυρος θεοδώρου τοῦ ἐν πέργη :~

Εἰς τὰς, κβ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ συκεώτου. τροπ. ἦχος, δ΄. Ἀγωνισάμενος καλῶς ἱεράρχα. κατὰ τῶν πονηρῶν ἐξουσίαν. παρὰ κυρίου ἔλαβες θεόδωρε. λύειν τὰ νοσήματα, καὶ ἰᾶσθαι ποικίλα. παύειν ἀῤῥωστήματα τῶν πιστῶς προστρεχόντων. τῇ σῇ πνοῇ πάντοτε σορῷ. ὃν προσκυνοῦντες, ἀεὶ ἀσπαζόμεθα :~

Εἰς τὰς, κγ΄. Τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος καὶ θαυματουργοῦ, γεωργίου. τοῦ τροπαιοφόρου. Καὶ

ἐν

ἐν τῷ ἐπιταγέντα πάλιν ἐν πίσῃ. ὅτι, ἐθέλησο προθέσως, ποιοῦ μεν ἀγρυπνίαν. Εἰς τὸ λυχνικὸν μετὰ τὸ, α', ἀντίφωνον, τὸ, μακάριος ἀνήρ. Εἰς τὸ κύριε ἐκέκραξα, στίχοι προσόμοια, ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν. Καὶ δευτεροῦμεν αὐτά. Δόξα, ἦχος πλ. β'. Ἄξιος τοῦ ὀνόματος. καὶ νῦν, τῆς ἡμέρας. Εἴσοδος. τὸ φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον τῆς ἡμέρας. Δόξα, ἦχος πλ. δ'. Τὸν νοερὸν ἀδάμαντα. καὶ νῦν τῆς ἡμέρας. Τροπάριον, ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής. καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός. Βασιλέων ὑπέρμαχε. τροπαιοφόρε μεγαλομάρτυς γεώργιε. πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ἕτερον, τροπάριον, ἦχος δ'.

Τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσω, ἀθλοφόρε τοῦ Χριστοῦ, διὰ πίστεως. καὶ τῶν τυράννων ἤλεγξας τὴν ἀσέβειαν, θυσία δὲ προσδεκτὴ τῷ θεῷ προσενέχθης. ὅθεν καὶ τὸν στέφανον, ἐκομίσω τῆς νίκης καὶ ταῖς πρεσβείαις ἅγιε ταῖς σαῖς, πᾶσι παρέχεις πταισμάτων συγχώρησιν.

Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία, καὶ ὁ πολυέλεος. Ἀναγινώσκομεν καὶ τὸ μαρτύριον τοῦ ἁγίου. Οἱ ἀναβαθμοί. Τὸ, α', ἀντίφωνον τοῦ, δ', ἤχου. προκείμενον, ἦχος δ'. Εὐφρανθήσεται δίκαιος ἐν τῷ. στίχος. Εἰσάκουσον ὁ θεὸς φωνῆς μου. τὸ, Πᾶσα πνοή. καὶ εὐαγγέλιον. Ζήτει τῇ, δ', τῆς, γ', ἑβδομάδος, τοῦ ματθαίου. ὁ πεντηκοστός. Καὶ οἱ κανόνες. Τοῦ ἁγίου, εἰς, ϛ'. Ἀπὸ, γ', τὸ κοντάκιον τῆς ἡμέρας. Ἀφ' ἕκτης κοντάκιον τοῦ ἁγίου, ἦχος δ'. πρὸς ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Γεωργηθεὶς ὑπὸ θεοῦ, ἀνεδείχθης τῆς εὐσεβείας γεωργὸς τιμιώτατος. Τῶν ἀρετῶν τὰ δράγματα συλλέξας σεαυτῷ. σπείρας γὰρ ἐν δάκρυσιν εὐφροσύνῃ θερίζεις. ἀθλήσας δὲ δι' αἵματος, τὸν Χριστὸν ἐκομίσω. καὶ ταῖς πρεσβείαις ἅγιε ταῖς σαῖς, πᾶσι παρέχων, πταισμάτων συγχώρησιν.

Ἀφ' ἑρμάτης τὰ ἐξαποστειλάρια, τοῦ ἁγίου, καὶ τῆς ἡμέρας. Εἰς τοὺς αἴνους Πᾶσα πνοή, ἦχος β'. προσόμοια τοῦ ἁγίου, γ'. Καὶ δευτεροῦμεν τὸ πρῶτον. Δόξα, ἦχος ὁ αὐτός.

Κ ἀέτω δίκαια ἔφησε σολομῶν. καὶ νῦν, τῆς ἡμέρας. Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Δίδοται δὲ καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς. Εἰς τὴν λειτουργίαν τυπικά. καὶ ἐκ τοῦ κανόνος τοῦ ἁγίου, ᾠδὴ, γ'. προκείμενον, ἦχος, βαρύς. Εὐφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ. στίχος. Εἰσάκουσον ὁ θεὸς φωνῆς μου. ὁ ἀπόστολος. Πράξεων τῶν ἀποστόλων τὸ ἀνάγ. Κατ' ἐκεῖνον τὸν καιρόν. Ζήτει σάββατον, δ'. ἀπὸ τοῦ πάσχα. Ἀλληλούϊα, ἦχος δ'. Δίκαιος ὡς φοῖνιξ, ἀνθ. Εὐαγγέλιον, κατὰ ἰωάννην. Εἶπεν ὁ κύριος. ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε. Ζήτει σάββατον, γ'. ἀπὸ τοῦ πάσχα. Λέγεται δὲ καὶ τῆς ἡμέρας ὁ ἀπόστολος. καὶ τὸ εὐαγγέλιον. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Μετὰ δὲ καὶ παράκλησις τοῖς ἀδελφοῖς.

Εἰς τὰς, κδ'. Τοῦ ἁγίου μάρτυρος σάββα τοῦ στρατηλάτου. Καὶ τῆς ὁσίας ἐλισάβετ, τῆς θαυματουργοῦ. Ἀλληλούϊα.

Εἰς τὰς, κε. τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ, μάρκου. ἡ ἀκολουθία πᾶσα κατὰ τὸν τύπον, τὰ ἰδιόμελα. εἰς τὸ δόξα, καὶ προεόρτιον. ἀπόστολε ἅγιε. τὸ αὐτὸ καὶ εἰς τὸν ὄρθρον. εἰς τὴν λειτουργίαν, προκείμενον, ἦχος, πλάγιος δ. εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. στίχ. οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ. ὁ ἀπόστολος πρὸς κορινθίους. ἀδελφοί, ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους. ζήτει κυριακῇ, ι. ἀλληλούϊα, ἦχος, α. ἐξομολογήσονται οἱ οὐρανοί. εὐαγγέλιον κατὰ λουκᾶν. εἶπεν ὁ κύριος. ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. κοινωνικόν. εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Εἰς τὰς, κϛ. τοῦ ἁγίου ἱερομάρτυρος, βασιλέως, ἐπισκόπου ἀμασίας. εἰς τὸν ὄρθρον, ἀναγινώσκομεν τὸ ἐγκώμιον, ἀστερίου ἐπισκόπου ἀμασίας, εἰς δόσεις, γ.

Εἰς τὰς, κζ. τοῦ ἁγίου ἱερομάρτυρος, συμεών, συγγενοῦς τοῦ κυρίου. τροπάριον ἦχος, α. πρὸς, τὸν τάφον σου σωτήρ. χριστοῦ σε συγγενῆ, συμεὼν ἱεράρχα. καὶ μάρτυρα στερρόν, ἱερῶς εὐφημοῦμεν. τὴν πλάνην ὀλέσαντα, καὶ τὴν πίστιν τηρήσαντα. ὅθεν σήμερον, τὴν πανάγιάν σου μνήμην. ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, δι' αὐτοῦ λαμβάνομεν. κοντάκιον, ἦχος, δ. πρὸς ἐπεφάνης σήμερον. ὡς ἀστέρα μέγαν ἡ ἐκκλησία. κεκτημένη σήμερον, τὸν θεηγόρον συμεών. φωταγωγεῖται κραυγάζουσα. χαῖροις μαρτύρων στερρὸν ἀκροθίνιον.

Εἰς τὰς, κη. τῶν ἁγίων ἀποστόλων, ἰάσονος, καὶ σωσιπάτρου. καὶ τῶν ἁγίων μαρτύρων, δαδᾶ, μαξίμου, καὶ κυντιλιανοῦ. εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ προσόμοια, ἦχος, πλάγιος δ. δόξα, καὶ νῦν τῆς ἑορτῆς. κοντάκιον τῆς ἑορτῆς.

Εἰς τὰς, κθ. τῶν ἁγίων ἐννέα μαρτύρων τῶν ἐν κυζίκῳ. καὶ τοῦ ὁσίου μέμνονος τοῦ θαυματουργοῦ.

Εἰς τὰς, λ. τοῦ ἁγίου ἀποστόλου ἰακώβου. ἀδελφοῦ τοῦ ἁγίου ἰωάννου τοῦ θεολόγου. ζήτει τὴν ἀκολουθίαν, ὡς τὴν τοῦ ἁγίου ἀποστόλου μάρκου. τροπάριον. ἀπόστολε ἅγιε. ἀπόστολον δὲ λέγε. κατ' ἐκεῖνον τὸν καιρόν, ἐπέβαλεν. ζήτει σαββάτῳ, δ, ἀπὸ τοῦ πάσχα. κοινωνικόν. εἰς πᾶσαν τὴν γῆν καὶ οἰκουμενικόν. πρὸς τὰ ἄνω ζητῶν. φωνῆς θεϊκῆς, ἀκούσας προσκαλούσης σε. ἀγάπην πρώτην, παρεῖδες καὶ προσέδραμες τῷ χριστῷ ἰάκωβε, μετὰ τοῦ συγγόνου σου ἔνδοξε. μεθ' οὗ ἠξιώθης, ἰδεῖν κυρίου τὴν θείαν μεταμόρφωσιν.

Τέλος τοῦ τύπου, τοῦ μηνὸς ἀπριλλίου.

Εἴδησις τοῦ τύπου, μηνὸς μαΐου.

Κεφάλαιον, κγ.

Μὴν μάϊος, ἔχων ἡμέρας, λα. ἡ ἡμέρα ἔχει ὥρας, ιδ. καὶ ἡ νύξ, ὥρας, ι.

Εἰς τὴν, α. τοῦ ἁγίου προφήτου ἱερεμίου. εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ προσόμοια, ἦχος, πλάγιος δ. πρὸς κύριε εἰ καὶ κριτηρίω. κύριε σὺ πρὸ τοῦ πλασθῆναι προέγνως. τροπάριον. τοῦ προφήτου σου τὴν μνήμην

μνήμην καί. Εἰς τὴν λειτουργίαν,
προκείμενον, ἦχος, δ΄. Σὺ ἱερεὺς
εἰς τὸν αἰῶνα. στίχ. Εἶπεν ὁ κς τῷ κῷ
μου. ὁ ἀπόστολος. Καθολικῆς ἐ=
πιστολῆς, ἰακώβου τὸ ἀνάγνωσμα.
Ἀδελφοὶ ὑπόδειγμα λάβετε.
Ζήτει ἰαννουαρίῳ, ιδ΄. Ἀλληλούϊα,
ἦχος, δ΄. Μωϋσῆς καὶ ἀαρὼν. στίχ.
Ἐπεκαλοῦντο τὸν κν. Εὐαγγέλιον
κατὰ λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ,
ἐθαύμαζον οἱ ὄχλοι. Ζήτει τῇ πα
ρασκευῇ τῆς, α΄, ἑβδομάδος τοῦ λου=
κᾶ. Κοινωνικόν. Εἰς μνημόσυνον
αἰώνιον.

Εἰς τάς, β΄. Τοῦ ἐν ἁγίοις πρς ἡ=
μῶν ἀθανασίου τοῦ μεγάλου πριάρ
χου ἀλεξανδρείας. Ἑσπέρας, ἡ ἀκο
λουθία. Εἰς τὸ κε ἐκέκραξα στιχ. προ=
σόμοια, ἱστῶμεν στίχ, ς΄. τοῦ ἁγίου
προσόμοια, ἦχος, πλ. πρὸς, ὅσιε πά
τερ. Ὅσιε πάτερ θεοφάντωρ ἀθα=
νάσιε. Δόξα, ἦχος, πλ β, Χ ὑ τὸν ἱε=
ράρχην τιμήσωμεν. καὶ νῦν, τῆς ἡμέ
ρας. Εἰς τὸν στίχ τῆς ἡμέρας, δόξα,
ἦχος, γ΄. Πάλιν ἡμῶν ὁ χρυσορρόας
νεῖλος. καὶ νῦν, θ΄. τροπ, ἦχος, γ΄.
Στύλος γέγονας ὀρθοδοξίας. θείοις
δόγμασιν ὑποστηρίζων, τὴν ἐκκλη=
σίαν, ἱεράρχα ἀθανάσιε. τῷ γὰρ πρί
τὸν υἱὸν ὁμοούσιον ἀνακηρύξας, κα=
τῄσχυνας ἄρειον. πάτερ ὅσιε. χν τὸν
θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέ
γα ἔλεος. Εἰς τὸν ὄρθρον ἡ ἀκολουθία.
Κανῶν τῆς ἡμέρας καὶ τοῦ ἁγίου εἰς
ς΄, ἦχος, πλ δ. πρὸς ἁρματηλάτην.
Ἀθανασίῳ προσκομίζων ἔπαι=
νον. Ἀφ᾽ ἕκτης τὸ κοντάκιον, πρὸς
τοῖς τῶν αἱμάτων σου. Ὀρθοδοξίας
φυτεύσας διδάγματα. κακοδοξίας
ἀκάνθας ἐξέτεμες. πληθύνας τὸν

σπόρον τῆς πίστεως, τῇ ἐπομβρίᾳ τοῦ
πνεύματος ὅσιε. διὸ σε ὑμνοῦμεν ἀθα=
νάσιε. Εἰς τοὺς αἴνους, εἰσὶν στίχ
προσόμοια τοῦ ἁγίου, ἦχος, πλ. πρὸς
χαίροις ἀσκητικῶν. Χαίροις τῶν ἀ=
ρετῶν ὁ κανών. Δόξα, ἦχος, γ΄.
Ἡ μεγάλη τῆς ἐκκλησίας σάλπιγξ,
καὶ νῦν, τῆς ἡμέρας. Εἰς τὸν στίχ τῆς
ἡμέρας. Δόξα, ἦχος, γ΄. Τὸ μέγα
κλέος τῶν ἱερέων. καὶ νῦν τῆς ἡμέ
ρας. Εἰς τὴν λειτουργίαν, προκεί=
μενον, ἦχος, βαρύς. Τίμιος ἐναν=
τίον κυ ὁ θάνατος. στίχ. Τί ἀνταπο
δώσομεν τῷ κυρίῳ. Ὁ ἀπόστολος,
πρὸς ἑβραίους. Ἀδελφοί, τοιοῦ
τος ἡμῖν ἔπρεπεν ἀρχιερεύς. Ἀλλη
λούϊα, ἦχος, β΄. Οἱ ἱερεῖς σου κε ἐν
δύσονται. Εὐαγγέλιον κατὰ λου=
κᾶν. Εἶπεν ὁ κς. ὁ ἀκούων ὑμῶν,
ἐμοῦ ἀκούει. Κοινωνικόν. Εἰς μνη
μόσυνον αἰώνιον.

Εἰς τάς, γ΄. Τῶν ἁγίων μαρτύρων,
τιμοθέου, καὶ μαύρας. τροπ. Οἱ μάρ
τυρές σου κε. Κοντάκιον, πρὸς ὑ=
ψωθεὶς ἐν τῷ σταυρῷ. Τοὺς πολυτρό
πους αἰκισμοὺς ἐνεγκόντας. καὶ τοὺς
στεφάνους ἐκ θεοῦ εἰληφότας. ὑπὲρ
ἡμῶν πρεσβεύσατε πρὸς κν. μνή=
μην τὴν πανίερον, τῶν ὑμᾶς ἐκπλουτούν=
των μέγιστε τιμόθεε, καὶ ἀοίδιμε μαῦρα
τοῦ εἰρηνεῦσαι πόλιν καὶ λαόν. αὐ=
τὸς γάρ ἐστι πάντων τὸ κραταίωμα.

Εἰς τάς, δ΄. Τῆς ἁγίας μάρτυρος
πελαγίας. Ἀλληλούϊα.

Εἰς τάς, ε΄. Τῆς ἁγίας καὶ ἐνδόξου
μάρτυρος, εἰρήνης. τροπ, ἦχος, δ΄.
Ἡ ἀμνάς σου ἰησοῦ. Κοντάκιον,
ἦχος, γ΄. πρὸς τὸ ἡ παρθένος, σήμερον,
Παρθενίας κάλλεσι πεποικιλμένη
παρθένε. τῇ ἀθλήσει γέγονας ὡραιο=

πάτῃ εἰρήνῃ. αἵμασι τοῖς ἐκχυθεῖσι-
σου φοινιχθεῖσα· πλάνην τε καταβα-
λοῦσα τῆς ἀθείας· διὰ τοῦτο καὶ ἐδέξω,
βραβεῖα νίκης, χειρὶ τοῦ κτίσαντός σου:~

Εἰς τὰς, ς´. Τοῦ ἁγίου καὶ δικαίου,
Ἰὼβ τοῦ πολυάθλου. Τροπάριον, ἦχος β´.
Τοῦ δικαίου σου, τὴν μνήμην κύριε. ἢ
Τροπάριον, ἦχος α´. Τὸν πλοῦτον θεωρήσας
τῶν ἀρετῶν τοῦ Ἰώβ. συλῆσαι ἐμη-
χανᾶτο, ὁ τῶν δικαίων ἐχθρός. καὶ
διαρρήξας τὸν πύργον τοῦ σώματος.
τὸν θησαυρὸν οὐκ ἐσύλησε τοῦ πνεύ-
ματος. εὗρε γὰρ ὡπλισμένην, τὴν
τοῦ ἀμέμπτου ψυχήν. ἐμὲ δὲ καὶ γυ-
μνώσας, ᾐχμαλώτευσε. προφθά-
σας οὖν με πρὸ τέλους, ῥῦσαί με τοῦ
δολίου, σωτὴρ καὶ σῶσόν με. Κοντά-
κιον, ἦχος πλ. δ´. πρός. Ὡς ἀπαρ-
χὰς τῆς φύσεως. Ὡς ἀληθὴς καὶ
δίκαιος, θεοσεβὴς καὶ ἄμεμπτος. ἡ-
γιασμένος φανείς τε πανένδοξε.
θεοῦ θεράπων γνήσιε, κατεφώτισας
κόσμον ἐν τῇ ὑπομονῇ σου καρτερι-
κώτατε καὶ γενναιότατε. ὅθεν πάν-
τες θεόφρον, ὑμνοῦμέν σου τὸ μνη-
μόσυνον:~

Εἰς τὰς, ζ´. Ἡ ἀνάμνησις τοῦ ἐν τῷ
οὐρανῷ φανέντος σημείου σταυροῦ, ἐν
τῇ πόλει Ἱερουσαλήμ, περὶ ὥραν, γ´, τῆς
ἡμέρας, ἐπὶ Κωνσταντίνου βασιλέως,
ἀπὸ τοῦ ἁγίου κρανίου, ἐκτεταμέ-
νου, δι᾽ ἀστέρων, ἕως τοῦ ἁγίου ὄρους τῶν
ἐλαιῶν. Καὶ μνήμη τοῦ ἁγίου μάρ-
τυρος Ἀκακίου. Τροπάριον, ἦχος πλ. δ´. Τοῦ
σταυροῦ σου ὁ τύπος νῦν, ὑπὲρ ἥλιον ἔ-
λαμψεν. ὅνπερ ἐξ ὄρους ἁγίου, τόπῳ
κρανίου ἐξήπλωσας. καὶ τὴν ἐν αὐ-
τῷ σου σῶτερ ἰσχὺν ἐτράνωσας. διὰ
τούτου κρατύνας καὶ τοὺς πιστοὺς ἡμῶν
βασιλεῖς. οὓς περίσωζε διαπαντὸς

ἐν εἰρήνῃ, πρεσβείαις τῆς θεοτόκου Χριστὲ ὁ
θεὸς καὶ σῶσον ἡμᾶς. Κοντάκιον,
ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ,
ἑκουσίως. Εἰς τὴν λειτουργίαν [illegible]
[illegible] ἡ ἀκολουθία. ἤγουν ἀπόστολον
καὶ εὐαγγέλιον, καὶ κοινωνικόν, σταυ-
ρώσιμον:~

Εἰς τὰς, η´. Τοῦ ἁγίου ἐνδόξου, παν-
ευφήμου, ἀποστόλου, καὶ εὐαγγελι-
στοῦ. ἐπιστηθίου, φίλου, ἠγαπημέ-
νου, παρθένου, Ἰωάννου, τοῦ θεολόγου.
Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν, Ἀρσε-
νίου τοῦ μεγάλου. Ἡ οὖν ἀγρυπνία τε-
λεῖται ὡς προδεδήλωται, ἐν τῇ, κς´,
τοῦ σεπτεβρίου μηνός. Εἰς τὸ κύριε ἐκέ-
κραξα ἱστῶμεν στίχους, η´. Καὶ ψάλλομεν
τὰ προσόμοια τοῦ ἀποστόλου, τρία
δευτεροῦντες τά, β´. Εἶτα τοῦ ὁσίου,
γ´. προσόμοια. καὶ τοῦ μὲν ἀποστό-
λου, ἦχος α´. πρὸς Τῶν οὐρανίων τα-
γμάτων. Ὁ θεατὴς τῶν ἀρρήτων.
τοῦ δὲ ὁσίου, ἦχος πλ. δ´. πρὸς Ὢ τοῦ πα-
ραδόξου θαύματος. Πάτερ θεόφρον,
Ἀρσένιε. Δόξα, ἦχος β´. Τὸν υἱὸν
τῆς βροντῆς. καὶ νῦν, τῆς ἑορτῆς.
Εἴσοδος, προκείμενον τῆς ἡμέρας,
καὶ τὰ ἀναγνώσματα. Καθολι-
κῆς ἐπιστολῆς, Ἰωάννου τὸ ἀνάγνωσμα.
Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν. τὸ, β´,
Καθολικῆς ἐπιστολῆς, Ἰωάννου.
Ἀγαπητοί εἰ οὕτως ἠγάπησεν ἡμᾶς
ὁ θεός. τὸ, γ´. Ἀγαπητοί ἐάν τις εἴπῃ
ὅτι ἀγαπῶ τὸν θεόν. Εἰς τὴν λι-
τήν, τὸν ἀποστόλου. Εἶτα τοῦ ἁγίου
Ἀρσενίου, καὶ λέγομεν στίχους. Τίμιος
ἐναντίον κυρίου ὁ θάνατος, ἦχος πλ. β´.
Ὅσιε πάτερ, εἰς πᾶσαν τὴν γῆν. καὶ
τοῦ ἀποστόλου στιχηρά, [illegible], ἦχος α´. τά, δ´,
καὶ τά, β´. Δόξα, ἦχος πλ. β´. Ἀπό-
στολε Χριστοῦ, εὐαγγελιστὰ Ἰωάννη καὶ νῦν,
τῆς

τῆς ἑορτῆς. Εἰς τὸ στιχηρὸν στιχηρὰ προσόμοια τοῦ ἀποστόλου, ἦχος β΄. πρὸς ποίοις εὐφημιῶν. Ποίοις πνευματικοῖς ᾠδῶν ἄσμασι. Στίχος. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ. Δόξα, ἦχος δ΄. Ἀναπεσὼν ἐν τῷ στήθει. Καὶ νῦν, τῆς ἑορτῆς. Καὶ ἡ ἀκολουθία τῆς ἀγρυπνίας ὡς σύνηθες. Ἀπολυτίκιον, ἦχος β΄. Ἀπόστολε Χριστῷ τῷ θεῷ ἠγαπημένε, ἐκβ΄. Τὸ ἐθνῶν παρθένε, ἅπαξ. Καὶ δίδοται τὸ κατάκλαστον. Καὶ ἀνάγνωσιν, εἰς τὴν ἀποκάλυψιν. Εἰς δὲ τὰς ἄλλας ἀναγνώσεις, τίθενται αἱ περίοδοι αὐτοῦ, ἃς συνεγράψατο ὁ πρόχωρος. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία, καὶ ὁ πολυέλεος. Εἰς τὸ στιχηρὸν κάθισμα τοῦ ἁγίου. Οἱ ἀναβαθμοί. τὸ α΄, ἀντίφωνον τοῦ δ΄, ἤχου. τὸ προκείμενον. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ. Τὸ πᾶσα πνοή. Εὐαγγέλιον, κατὰ Ἰωάννην. ἑωθινὸν, ια΄. Μετὰ τὸν πεντηκοστὸν, προσόμοιον, ἦχος β΄. Θεολόγε παρθένε. Οἱ κανόνες, τῆς ἡμέρας μετὰ τῶν εἱρμῶν, εἰς δ΄. καὶ τοῦ ἀποστόλου, εἰς ς΄. καὶ τοῦ ὁσίου, εἰς δ΄. Ἀφ᾽ ἕκτης τὸ κοντάκιον τοῦ ἀποστόλου, ἦχος β΄. Τὰ μεγαλεῖά σου παρθένε. καὶ τοῦ ὁσίου, πρὸς τὴν ἐν πρεσβείαις. Τὴν τῶν ἀγγέλων μὲν στόματι. Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια τοῦ ἀποστόλου. Ἱστῶμεν στίχους δ΄, ἦχος πλ. πρὸς ὢ τοῦ παραδόξου θαύματος. Μάκαρ Ἰωάννη πάνσοφε. Δόξα, ἦχος πλ. Εὐαγγελιστὰ Ἰωάννη. καὶ νῦν τῆς ἑορτῆς. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Δίδοται δὲ καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς. Εἰς τὴν λειτουργίαν τυπικὰ, καὶ ἐκ τοῦ κανόνος τοῦ

Τυπ.

ἀποστόλου, ᾠδὴ γ΄, καὶ ς΄. προκείμενον ἦχος πλ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν. ὁ ἀπόστολος. Καθολικῆς. Ἀλληλούϊα, ἦχος α΄. Ἐξομολογήσονται οἱ οὐρανοί. Στίχος. Ὁ θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων. Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἱστήκεισαν παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν.

Ἰστέον, ὅτι οἵα ἡμέρα τύχῃ ἡ μνήμη τοῦ ἀποστόλου μετὰ τὸ πάσχα. κἂν τῆς μεσοπεντηκοστῆς, κἂν τῆς ἀναλήψεως, οὐ καταλιμπάνεται. ἀλλὰ ψάλλεται μετὰ τῆς ἑορτῆς, καὶ ἡ ἀκολουθία τῆς ἡμέρας. ἡ δὲ τοῦ ὁσίου ἀκολουθία, ψάλλεται ἐν ἄλλῃ ἡμέρᾳ, ἢ ἐν τοῖς ἀποδείπνοις.

Εἰς τὰς, θ΄. Τοῦ ἁγίου προφήτου Ἡσαΐου. Καὶ τοῦ ἁγίου μάρτυρος, Χριστοφόρου. Προσόμοιον, ἦχος β΄. Τοῦ προφήτου σου τὴν μνήμην κύριε ἑορτάζοντες. Καὶ τοῦ μάρτυρος, ἦχος β΄. Στολαῖς ταῖς ἐξ αἱμάτων ὡραϊζόμενος. κυρίως παρέστης σὺ, τῷ βασιλεῖ τῶν δυνάμεων. Χριστοφόρε ἀοίδιμε. ὅθεν σὺν ἀσωμάτων καὶ μαρτύρων ᾄδεις, τῇ τρισαγίῳ καὶ φρικτῇ μελῳδίᾳ. διὸ ταῖς ἱκεσίαις σου σῶζε τὴν ποίμνην σου. Καὶ κοντάκιον τοῦ προφήτου. πρὸς τὴν ἐν πρεσβείαις ἀκοίμητον θεοτόκον. Τῆς προφητείας τὸ χάρισμα δεδεγμένος. προφητομάρτυς θεοκήρυξ πᾶσιν ἐτράνωσας τὴν ἐνανθρώπησιν τοῦ κυρίου. μεγαλοφώνως τοῖς πέρασιν, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται.

Εἰς τὰς, ι΄. Τοῦ ἁγίου ἀποστόλου Σίμωνος τοῦ ζηλωτοῦ. Ἀπολυτίκιον. ἦχος γ΄. Ἀπόστολε ἅγιε, πρέσβευε. Ἡ ἀκολουθία ζήτει εἰς ἀποστόλους.

Εἰς τὰς, ια΄. Τὰ ἐγκαίνια τῆς Κωνσταν

πτρουπόλεως. Καὶ τοῦ ἁγίου ἱερομάρτυρος Μωκίου. Τροπάριον τοῦ μάρτυρος, ἦχος δʹ. Ὁ μάρτυς σου κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ. Καὶ τῶν γενεθλίων, ἦχος δʹ. Τῆς θεοτόκου ἡ πόλις, τῇ θεοτόκῳ προσφόρως, τὴν ἑαυτῆς ἀνατίθεται σύστασιν. ἐν αὐτῇ γὰρ ἐστήρικται καὶ βασιλεύει. δι' αὐτῆς περισώζεται καὶ δια[illegible]μὴ βοῶσα πρὸς αὐτήν. χαῖρε ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς. Κοντάκιον τοῦ ἱερομάρτυρος. πρὸς τοὺς ἀσφαλεῖς καί. Καθοπλισθεὶς τῷ θυρεῷ τῆς πίστεως, τῶν ἀσεβῶν τὰς παρατάξεις ἔτρεψας ἱερομάρτυς. καὶ τὸν στέφανον παρὰ κυρίου ἦρας Μώκιε. διὸ καὶ μετὰ ἀγγέλων ἀγαλλόμενος. περίσωζε κινδύνων τοὺς ὑμνοῦντάς σε. πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Εἰς τὰς, ιβʹ. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου, ἀρχιεπισκόπου Κύπρου. Καὶ Γερμανοῦ, πατριάρχου κωνσταντινουπόλεως. Ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα τὰ προσόμοια τῶν ἱεραρχῶν. Εἰς τὸν στίχον τῆς ἡμέρας. Τροπάριον. Ὁ θεὸς τῶν πατέρων ἡμῶν. κοντάκιον, ἦχος δʹ. πρὸς ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Ἱεραρχῶν τὴν θείαν συνωρίδα. ἀνευφημήσωμεν πιστοὶ καταχρέος, σὺν Γερμανὸν τὸν θεῖον Ἐπιφάνιον. οὗτοι γὰρ κατέφλεξαν τῶν ἀθέων τὰς γλώσσας. δόγματα σοφώτατα, διατιθέμενοι πᾶσι. τοῖς ὀρθοδόξως μέλπουσιν ἀεί, τῆς εὐσεβείας τὸ μέγα μυστήριον. Ἡ δὲ λοιπὴ ἀκολουθία, ζήτει εἰς ἱεράρχας.

Εἰς τὰς, ιγʹ. Τῆς ἁγίας μάρτυρος Γλυκερίας. Ἀλληλούϊα. ἦ. τροπάριον, ἦχος δʹ. Ἡ ἀμνάς σου Ἰησοῦ. κοντάκιον, ἦχος γʹ. πρὸς ἡ παρθένος σήμερον. Τὴν παρθένον ἀγαπήσασα καὶ θεοτόκον Μαρίαν. διετήρεις ἄφθορον, τὴν σεαυτῆς παρθενίαν. πόθῳ δὲ καρδίαν τρωθεῖσα τῷ τοῦ κυρίου, ἤθλησας ἀνδρειοφρόνως μέχρι θανάτου. διὰ τοῦτο καὶ διπλῶς σε, παρθενομάρτυς στεφάνῳ, ἀ[illegible]φει Χριστός.

Δεῖ εἰδέναι, ὅτι ἀπὸ τῆς σήμερον ἀναγινώσκομεν τὸν βίον τοῦ ἁγίου Παχωμίου.

Εἰς τὰς, ιδʹ. Τοῦ ἁγίου μάρτυρος Ἰσιδώρου τοῦ ἐν τῇ Χίῳ τῇ νήσῳ. Ἀλληλούϊα. ἦ, τροπάριον. Ὁ μάρτυς σου κύριε. κοντάκιον, πρὸς ἐπεφάνης σήμερον. Κυβερνήτης μέγιστος τῇ οἰκουμένῃ. σὺ ἐφάνης ἅγιε ταῖς πρὸς θεόν σου προσευχαῖς. διὸ ὑμνοῦμέν σε σήμερον. μάρτυς θεόφρον Ἰσίδωρε ἔνδοξε.

